# Αθηναικα (Athenaika)



- information on the cult of Goddess Athena Olympian, patroness of civilization with law & justice, wisdom/philosophy-science-mathematics, inspiration, (aesthetic, useful, strategic/martial) arts/crafts/engineering
- story/mythos excerpts from Ελληνικά (Greek)
- compiled, edited, preface by David Chmelik, BSc (**Δαβίδ Λυκίσκος**)

updated first edition, 2000s - 2020

copyright & copyleft, bibliographic details

cover photo
public domain
GoodFreePhotos.com

αρχή & πρόλογος (beginning & preface)
CreativeCommons-Attribution-NoDerivs License (CreativeCommons.org)

Ομηρικούς Ύμνους (Homeric Hymns)
CreativeCommons-Attribution-ShareAlike License (CreativeCommons.org),
Wikimedia Foundation,
El.WikiSource.com

Ορφικός Ύμνος (Orphic Hymn)
latest GNU General Public License (GNU.org),
Supreme Council of Ethnikoi Hellenes
YSEE.Gr

Proclus' prayer
Google Books & the Internet Archive
Books.Google.com & Archive.org
public domain

Hesiod's, Apollodorus' texts
CreativeCommons-Attribution-ShareAlike-NonCommercial license (CreativeCommons.org),
Tufts University Perseus Digital Library,
www.Perseus.Tufts.edu
(referenced/excerpted under 'fair use')

ΦΟΡΩΝΙΣ, ΠΕΙΣΑΝΔΡΟΥ ΗΡΑΚΛΕΙΑ, ΚΥΠΡΙΑ, ΘΗΒΑΙΣ, ΙΛΙΑΣ ΜΙΚΡΑ, ΙΛΙΟΥ ΠΕΡΣΙΣ, ΝΟΣΤΟΙ. ΑΤΡΕΙΔΩΝ ΚΑΘΟΔΟΣ (Phoronis, Poems on Heracles and Theseus, Thebaid, The Little Iliad, The Sack of Ilion, The Returns)
copyright 2003 Martin L West
Loeb Classical Library 497: Greek Epic Fragments
(referenced/excerpted under 'fair use')

Ἀργοναυτικά, Ἰλιάς, Οδύσσεια (Argonautika, Iliad, Odyssey) chapters 1 – 10, 12 – 24
public domain,
Internet Sacred Text Archive,
Sacred-Texts.com

# πρόλογος (Preface)

This philosophical/religious book collects traditional mythic/epic text, and information about Goddess-Princess Athena Olympian (her royal highness, HRH.) The book is meant for scholars/researchers of HRH Athena, and Greek-speaking members of Hellenismos, and mythology fans/readers who want to find all such mythic text (except from plays, philosophy, etc., which I may add in a future edition.) Thanks to those whose writing helped me learn about HRH Athena and the ancient Greek calendar, including Hellenion, Roy George & Shrine to Goddess Athena, Odysseus Glaucus Osborne and members of Shrine to Athena Promachos and AOTSC FELLOWSHIPS Yahoo Groups including Niki for proofreading the Greek. Thanks to blogger Baring the Aegis (and as excerpted by Fiercely Bright One) for listing the Hellenic Month Established Per Athens' (HMEPA) holy days.

If you're unfamiliar with Hellenismos religion/philosophy, note that all prayers/rituals start and end by addressing Goddess-Princess Hestia Olympian.

I can be found at DavidChmelik.com/.

# Αθηναικα (Athenaika)

## περιεχόμενα (Contents)


Opening Prayers page 1
Holy Days page 1
Sacred Sites/Temples page 1
Prayers
Ομηρικούς Ύμνους (Homeric Hymns) page 3
Ορφικός Ύμνος (Orphic Hymn) page 4
Προσευχή Προκκλο (Prayer of Proclos) page 5

Athenaika
Mythography (excerpts)
Ἔργα καὶ Ἡμέραι (Works And Days) page 7
Θεογονία (Theogony) page 7
Βιβλιοθήκη (Library) page 9
ΦΟΡΩΝΙΣ (Phoronis) page 12
Ἀσπὶς Ἡρακλέους (Shield of Heracles) page 12
ΠΕΙΣΑΝΔΡΟΥ ΗΡΑΚΛΕΙΑ (Pisander, Heraclea) page 13
Ἀργοναυτικά (Argonautika) page 13
ΚΥΠΡΙΑ page 21
Ἰλιάς (Iliad) page 21
ΘΗΒΑΙΣ (Thebaid) page 62
ΙΛΙΑΣ ΜΙΚΡΑ (The Little Iliad) page 62
ΙΛΙΟΥ ΠΕΡΣΙΣ (The Sack of Ilion) page 62
ΝΟΣΤΟΙ. ΑΤΡΕΙΔΩΝ ΚΑΘΟΔΟΣ (The Returns) page 62
Οδύσσεια (Odyssey) page 63

Closing Prayers page
License (for Preface) page 112
License (for most Athenaika text) page 119

## Opening Prayers

Eirene (Peace) be to Hestia; Eirene be to Athena; Eirene be with you! Chaire (hail) Hestia; Chaire Athena! 'Long for wisdom… Seek after wisdom… Know thyself.'—Apollo (through The Oracle of Delphi and The Seven Sages.) 'An unexamined life is not worth living'—Socrates.

## Holy Days

| | |
|---|---|
| new moon | household Olympian divinities' holy day |
| 3rd of each Greek month | sacred day |
| 13th of each Greek month | sacred day |
| 23rd of each Greek month | sacred day |
| 15th to 16th of Hekatombaion | Sunoika (Athens festival every other year) |
| 23rd to end of Hekatombaion | lesser Panathenaia (birth festival third year of Olympiad) |
| 28th of Hekatombaion | lesser Panathenaia (birth festival) |
| 12th of Metageitnion | sacrifice to Athena Polias |
| 2nd of Boedromion | Niketeria (Athena festival) |
| 27th of Boedromion | sacrifice to Athena (at Attic deme of Teithras) |
| 19th to 21st? of Pyanepsion | Apatouria (w/Athena Phratria, Zeus Phratrios) |
| 30th of Pyanepsion | Khalkeia (Athena, Hephaestus festival) |
| 9th of Gamelion | sacrifice to Athena (at Erchia) |
| 20th to 25th of Thargelion | Kallunteria (Spring cleaning of temple) |
| 25th of Thargelion | Plynteria (Athena statue washing festival, auspicious) |
| 3rd of Skirophorion | Arrephoria (Athens festival, change of young priestesses) |
| 3rd of Skirophorion | sacrifice to Athena Polias |
| 12th of Skirophorion | Skirophoria (Athena festival) |
| 28th or 29th (last day) | sacrifice to Athena and Zeus as saviours |

## Sacred Sites And Temples

| | |
|---|---|
| Ελλάδα (Greece) | |
| Μοντέρνο (Modern) | |
| Αίγινα (Aegina) | Sanctuary And Temple of Αθηνά Αφαία (Athena Aphaea) |
| Άργος (Argos) | Sanctuary |
| Αθήνα (Athens) | Παρθενώνας (Parthenon) |
| | Ερέχθειο (Erectheion) |
| | old Temple |
| | Sanctuary of Πάνδροσος (Pandrosos) |
| | Temple of Αθηνάς Νίκης (Athena Nike) |
| | Temple of Ζεύς And Αθήνα (Zeus And Athena) |
| Κάμειρο (Camirus) | Sanctuary |
| Δήλος (Delos) | Sanctuary of Athena Cynthia |
| Δελφοί (Delphi) | Sanctuary of Athena Pronoia |
| | Temple of Athena Pronoia |

| | |
|---|---|
| | Temple of Athena And Tholos |
| Ialysus | Temple of Athena Polias And Zeus Polieus |
| Lindus | Sanctuary And Temple of Athena Lindia |
| Ρόδος (Rhodes) | Temple of Athena Polias And Zeus Polieus |
| Σούνιο (Sounion) | Sanctuary of Athena Sounias |
| | Temple of Athena |
| | older Temple of Athena |
| Σπάρτη (Sparta) | Sanctuary of Athena Chalkioikos |
| Τεγέα (Tegea) | Temple of Athena Alea |
| river Trito (Τρίτο) | recorded as Athena's birthplace |
| αρχαία/κλασική Ανατολία (ancient/Classical Anatolia) | |
| Άσσος (Assos) | Temple |
| Ερυθρές (Erythrae) | Temple of Athena Polias |
| Ηράκλεια under Λάτμο (Heracleia under Latmus) | Temple |
| Μίλητος (Miletus) | Temple |
| Νότιον (Notium) | Temple of Athena Polias |
| Περγάμου (Pergamon) | Sanctuary, Temple, Propylon, Stoa |
| Φώκαια (Phocaea) | Temple |
| Πριήνη (Priene) | Sanctuary |
| | Temple of Athena Polias, Propylon, sacred Stoa |
| Σμύρνη (Smyrna) | Temple |
| Troy | Temple |
| Ιταλία (Italy) | |
| Ασίζη (Assisi) | Temple of Minerva |
| Ποσειδωνία (Poseidonia) (Paestum) | Temple |
| | |
| Σκωτία (Scotland) | |
| Εδιμβούργο (Edinburgh) | Parthenon (incomplete) |
| | |
| Ηνωμένες Πολιτείες Αμερικής (Uniteed States of America) | |
| Nashville, Tennessee | Parthenon |

**Ομηρικούς Ύμνους** (αποσπάσματα)

Εἲς Ἀθήναν

Παλλάδ' Ἀθηναίην ἐρυσίπτολιν ἄρχομ' ἀείδειν,
δεινήν, ᾗ σὺν Ἄρηι μέλει πολεμήια ἔργα
περθόμεναί τε πόληες ἀϋτή τε πτόλεμοί τε,
καί τ' ἐῤῥύσατο λαὸν ἰόντα τε νισσόμενόν τε.
χαῖρε, θεά, δὸς δ' ἄμμι τύχην εὐδαιμονίην τε.

Εἲς Ἀθήναν

Παλλάδ' Ἀθηναίην, κυδρὴν θεόν, ἄρχομ' ἀείδειν
γλαυκῶπιν, πολύμητιν, ἀμείλιχον ἦτορ ἔχουσαν,
παρθένον αἰδοίην, ἐρυσίπτολιν, ἀλκήεσσαν,
Τριτογενῆ, τὴν αὐτὸς ἐγείνατο μητίετα Ζεὺς
σεμνῆς ἐκ κεφαλῆς, πολεμήια τεύχε' ἔχουσαν,
χρύσεα, παμφανόωντα: σέβας δ' ἔχε πάντας ὁρῶντας
ἀθανάτους: ἣ δὲ πρόσθεν Διὸς αἰγιόχοιο
ἐσσυμένως ὤρουσεν ἀπ' ἀθανάτοιο καρήνου,
σείσασ' ὀξὺν ἄκοντα: μέγας δ' ἐλελίζετ' Ὄλυμπος
δεινὸν ὑπὸ βρίμης γλαυκώπιδος: ἀμφὶ δὲ γαῖα
σμερδαλέον ἰάχησεν: ἐκινήθη δ' ἄρα πόντος,
κύμασι πορφυρέοισι κυκώμενος: ἔκχυτο δ' ἅλμη
ἐξαπίνης: στῆσεν δ' Ὑπερίονος ἀγλαὸς υἱὸς
ἵππους ὠκύποδας δηρὸν χρόνον, εἰσότε κούρη
εἵλετ' ἀπ' ἀθανάτων ὤμων θεοείκελα τεύχη
Παλλὰς Ἀθηναίη: γήθησε δὲ μητίετα Ζεύς.

καὶ σὺ μὲν οὕτω χαῖρε, Διὸς τέκος αἰγιόχοιο:
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

## **Ορφικούς Ύμνους** (απόσπασμα)

✧ ’Αθηνᾶς ✧

θυμίαμα αρώματα.

Παλλὰς μουνογενή[ς], μεγάλου Διὸς ἔκγονε σεμνή,
δῖα, μάκαιρα θεά, πολεμόκλονε, ὀμβριμόθυμε,
ἄρρητε, ῥητή, μεγαλώνυμε, ἀντροδίαιτε,
ἣ διέπεις ὄχθους ὑψαύχενας ἀκρωρείους
ἠδ’ ὄρεα σκιόεντα, νάπαισί τε σὴν φρένα τέρπεις,
ὁπλοχαρής, οἰστροῦσα ροτῶν ψυχὰς μανίαισι,
γυμνάζουσα κόρη, φρικώδη θυμὸν ἔχουσα,
Γοργοφόνη, φυγόλεκτρε, τεχνῶν μῆτερ πολύολβε,
ὁρμάστειρα, φίλοιστρε κακοῖς, ἀγαθοῖς δὲ φρόνησις :
ἄρσην μὲν καὶ θῆλυς ἔφυς, πολεματόκε, μῆτι,
αἰολόμορφε, δράκαινα, φιλένθεε, ἀγλαότιμε,
Φλεγραίων ὀλέτειρα Γιγάντων, ἱππελάτειρα,
Τριτογένεια, λύτειρα κακῶν, νικηφόρε δαῖμον,
ἤματα καὶ νύκτας αἰεὶ νεάταισιν ἐν ὥραις,
κλῦθί μου εὐχομένου, δὸς δ’ εἰρήνην πολύολβον
καὶ κόρον ἠδ’ ὑγίειαν ἐπ’ εὐόλβοισιν ἐν ὥραις,
γλαυκῶφ’, εὑρεσίτεχνε, πολυλλίστη ασίλεια.

# ΠΡΟΚΑΟΥ ΥΜΝΟΙ.

ΕΙΣ ΑΘΗΝΑΝ ΠΟΑΥΜΗΤΙΝ.

Κλύ&ί μοι, αιγιόχοιο Αιός τέχος, ?} γενετ ηρος
*ιηγης έχπ ρο&ορούσα, καί άκροτάτης από σειρης,
άοσενό&νμε, φέρασπι, μεγάυ&ενες, όμβριμοπάτρη,
πίχλλάς, τριτογένεια, δορυααόε, χρνσεοπήληξ,
κέκλν&ϊ δέχνυσο δ 3 ύμνον ευφρονι, πότνια, χλνμω *
μΐ[β αϋτως άνέμοισιν έμόν ποτέ μύ&ον έάοτ)ξ.
η αοφίης πετ (ίσασα χλεοστιβέας^ πνλεώνας,
καί χ&ονίων 'δαμάσασα &εήμαχα φύλα γιγάντων,
η πό&ον τ Ηφαίοτυιο λιλαιομένοιο φ υγονσα,
παρ&ενίης εφύλαξας εης άδάμαντα χαλινόν.
ι'ι κραδίην εοάωσας άμιστύλλεντον άνακτος
αί&έρος εν γνάλοισι, μεριζόμενου ποτέ Βάκχον
Τιτήνων υπό χεροί. πόρες δέ £ πατρί φέρουσα,
οφρα νέος βυυλήσιν ύπ 3 άρρήτοισι τοκήος
ί'κ Σεμέλης περί κόσμον άνηβήση Λιόννοος.
ης πέλεκνς &ήρεια ταμών προ&έλνμνα χάρηνα,
πανδερκοΰς^Εκάτης π α&έων ηννασαε γενέ&λην.
τι κράτος ηραο σεμνόν έγεραιβρότων άρετάων.
η βίυτον κόσμηαας όλον πολυειδέσι τέχναις,
δημιοεργείην νοερήν ψνχαϊοι βαλοϊιαα.
ή λάχες ακροπόλη α κα & 3 υψιλόφοιο κολώνης,
σΰμβολον άκροτάτης μεγάλης αέο, πότνια, σειρής ·
ή χ&όνα αωτιάνειραν εφίλαο , μητέρα βίβλων,
πατροκααιγνητοιο βιασαμένι ι πό&ον Ιρόν,
οννομα δ 3 άατεϊ δωχας εχειν σέο , καί φρένας
εν&α ' μάχης άρίδηλον, υπό σφνρόν ονρεος άκρον
αήμα καί οφ^γύνοισιν άνεβλάστησας έλαίην *
ευτ'έπί Κεκροπίδηαι Ποαειδάωνυς αγωγή
μυρίυν εκ πόντοιο κνκώμενον τιλν&ε κνμα,
πάντα πολυφλοίσβοισιν εοΊς ρεέ&ροισιν Ιμάσσον .
κλΰ&ίμεν , ή φάος αγνόν άπαστράπτ ονσα προσωπω,
δός δέ μοι όλβιόν ορμον άλωομένω περί γαιαν ·
δός ψυχή φάος αγνόν άπ εύϊέρων σέο μΰ&ων,
καί σοφίην καί έρωτα · μένος δ 3 εμπνευσον ερωτι
τοσσάτιον καί τοϊον, όσον χ&ονίων από κόλπων
ιαύ ερΰσει προς ολνμπον, ές ή&εα πατρός έήος.
ει δέ τις άμπλακίη με κακή βιότοιο δαμάζει —
οϊδα γάρ, ώςπολλοϊοιν έρέχ&ομαι άλλο&εν άλλαις
πρήζεσιν, ουχ όσίαις, τάς η λιτόν άφρονι &νμω —
Ιίλα&ι, μειλιχόβονλε, σαόμβροτε, μηδέ μ * έάυης
ριγεδαναϊς ποιναίσιν ελωρ καί κυρ μα γενέο&αι,
κείμενον εν δαττέδοισιν , οτι τεύς εύχομαι είναι,
δός χνάλοις μελέων στα&ερι)ν, χαίάπήμον υγείην ,

σαρχοτάχων δ 3 απέλαυνε η ιχρων άγελάσματα νοΰσοιν,
ναι , λίτομαι βασίλεια , και αμβροσίη σέο χειρϊ
παΰσον οληv χαχότητα μέλαινάων όδυνάων.
δός βιότω πλώοντι γαληνιόωντας αητας,
τέχνα, λέχος, χλέος όλβιόν , ευφροσύνην έρατ εινήν,
πει&ω στωμνλίην φιλίης, νόον αγχνλομη την,
χάρτος έπ* άνχιβίοισι ' προε'δρίην ενι λαοΊς.
Κέχλυ&ι, κεκλυθ 1 ανασαα, πολΰλλιατος δέ σ Ιχάνω
χρειοϊ άναγχαίη * σύ δε μείλιχον ον ας υπόαχες.

## Mythography

### Ἔργα καὶ Ἡμέραι (αποσπάσματα)
Ἡσίοδος

Ἥφαιστον δ᾽ ἐκέλευσε περικλυτὸν ὅττι τάχιστα
γαῖαν ὕδει φύρειν, ἐν δ᾽ ἀνθρώπου θέμεν αὐδὴν
καὶ σθένος, ἀθανάτῃς δὲ θεῇς εἰς ὦπα ἐίσκειν
παρθενικῆς καλὸν εἶδος ἐπήρατον: αὐτὰρ Ἀθήνην
διδασκῆσαι, πολυδαίδαλον ἱστὸν ὑφαίνειν:
καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσέην Ἀφροδίτην
καὶ πόθον ἀργαλέον καὶ γυιοβόρους μελεδώνας:
ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
Ἑρμείην ἤνωγε, διάκτορον Ἀργεϊφόντην.

[…]

αὐτίκα δ᾽ ἐκ γαίης πλάσσεν κλυτὸς Ἀμφιγυήεις
παρθένῳ αἰδοίῃ ἴκελον Κρονίδεω διὰ βουλάς:
ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη:
ἀμφὶ δέ οἱ Χάριτές τε θεαὶ καὶ πότνια Πειθὼ
ὅρμους χρυσείους ἔθεσαν χροΐ: ἀμφὶ δὲ τήν γε
Ὧραι καλλίκομοι στέφον ἄνθεσιν εἰαρινοῖσιν:
[πάντα δέ οἱ χροῒ κόσμον ἐφήρμοσε Παλλὰς Ἀθήνη.]

[…]

πόλλ᾽ ἐπικαμπύλα κᾶλα: φέρειν δὲ γύην, ὅτ᾽ ἂν εὕρῃς, 427
ἐς οἶκον, κατ᾽ ὄρος διζήμενος ἢ κατ᾽ ἄρουραν,
πρίνινον: ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν,
εὖτ᾽ ἂν Ἀθηναίης δμῷος ἐν ἐλύματι πήξας
γόμφοισιν πελάσας προσαρήρεται ἱστοβοῆι.

### Θεογονία (αποσπάσματα)
Ἡσίοδος

[…]

ἔνθεν ἀπορνύμεναι, κεκαλυμμέναι ἠέρι πολλῇ, 11
ἐννύχιαι στεῖχον περικαλλέα ὄσσαν ἱεῖσαι,
ὑμνεῦσαι Δία τ᾽ αἰγίοχον καὶ πότνιαν Ἥρην
Ἀργεΐην, χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν,
κούρην τ᾽ αἰγιόχοιο Διὸς γλαυκῶπιν Ἀθήνην

[…]
καὶ τὴν μὲν Διὸς υἱὸς ἐνήρατο νηλέι χαλκῷ 314

Ἀμφιτρυωνιάδης σὺν ἀρηιφίλῳ Ἰολάῳ
Ηρακλέης βουλῇσιν Ἀθηναίης ἀγελείης.

[…]

ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη
ἀργυφέῃ ἐσθῆτι: κατὰ κρῆθεν δὲ καλύπτρην
δαιδαλέην χείρεσσι κατέσχεθε, θαῦμα ἰδέσθαι:
[ἀμφὶ δέ οἱ στεφάνους, νεοθηλέος ἄνθεα ποίης,
ἱμερτοὺς περίθηκε καρήατι Παλλὰς Ἀθήνη. ]
ἀμφὶ δέ οἱ στεφάνην χρυσέην κεφαλῆφιν ἔθηκε,
τὴν αὐτὸς ποίησε περικλυτὸς Ἀμφιγυήεις
ἀσκήσας παλάμῃσι, χαριζόμενος Διὶ πατρί.
τῇ δ᾽ ἐνὶ δαίδαλα πολλὰ τετεύχατο, θαῦμα ἰδέσθαι,
κνώδαλ᾽, ὅς᾽ ἤπειρος πολλὰ τρέφει ἠδὲ θάλασσα,
τῶν ὅ γε πόλλ᾽ ἐνέθηκε,—χάρις δ᾽ ἀπελάμπετο πολλή,—
θαυμάσια, ζῴοισιν ἐοικότα φωνήεσσιν.

[…]

Ζεὺς δὲ θεῶν βασιλεὺς πρώτην ἄλοχον θέτο Μῆτιν
πλεῖστα τε ἰδυῖαν ἰδὲ θνητῶν ἀνθρώπων.
ἀλλ᾽ ὅτε δὴ ἄρ᾽ ἔμελλε θεὰν γλαυκῶπιν Ἀθήνην
τέξεσθαι, τότ᾽ ἔπειτα δόλῳ φρένας ἐξαπατήσας
αἱμυλίοισι λόγοισιν ἑὴν ἐσκάτθετο νηδὺν
Γαίης φραδμοσύνῃσι καὶ Οὐρανοῦ ἀστερόεντος.
τὼς γάρ οἱ φρασάτην, ἵνα μὴ βασιληίδα τιμὴν
ἄλλος ἔχοι Διὸς ἀντὶ θεῶν αἰειγενετάων.
ἐκ γὰρ τῆς εἵμαρτο περίφρονα τέκνα γενέσθαι:
πρώτην μὲν κούρην γλαυκώπιδα Τριτογένειαν
ἶσον ἔχουσαν πατρὶ μένος καὶ ἐπίφρονα βουλήν.
αὐτὰρ ἔπειτ᾽ ἄρα παῖδα θεῶν βασιλῆα καὶ ἀνδρῶν
ἤμελλεν τέξεσθαι, ὑπέρβιον ἦτορ ἔχοντα:
ἀλλ᾽ ἄρα μιν Ζεὺς πρόσθεν ἑὴν ἐσκάτθετο νηδύν,
ὡς δή οἱ φράσσαιτο θεὰ ἀγαθόν τε κακόν τε.

[…]

γἐξαπαφὼν Μῆτιν καίπερ πολυδήνε᾽ ἐοῦσαν. 929
συμμάρψας δ᾽ ὅ γε χερσὶν ἑὴν ἐγκάτθετο νηδὺν 929η 929γ
δείσας, μὴ τέξῃ κρατερώτερον ἄλλο κεραυνοῦ. 929ι
τοὔνεκά μιν Κρονίδης ὑψίζυγος αἰθέρι ναίων 929J
κάππιεν ἐξαπίνης: ἣ δ᾽ αὐτίκα Παλλάδ᾽ Ἀθήνην 929κ
κύσατο: τὴν μὲν ἔτικτε πατὴρ ἀνδρῶν τε θεῶν τε 929λ
πὰρ κορυφὴν Τρίτωνος ἐπ᾽ ὄχθησιν ποταμοῖο. 929μ
Μῆτις δ᾽ αὖτε Ζηνὸς ὑπὸ σπλάγχνοις λελαθυῖα 929ν
ἧστο, Ἀθηναίης μήτηρ, τέκταινα δικαίων 929ο

πλεῖστα θεῶν τε ἰδυῖα καταθνητῶν τ᾽ ἀνθρώπων, 929π
ἔνθα θεὰ παρέδεκτο ὅθεν παλάμαις περὶ πάντων 929θ
ἀθανάτων ἐκέκασθ᾽ οἳ Ὀλύμπια δώματ᾽ ἔχουσιν, 929ρ
[αἰγίδα ποιήσασα φοβέστρατον ἔντος Ἀθήνης:] 929ς
σὺν τῇ ἐγείνατό μιν πολεμήια τεύχε᾽ ἔχουσαν.> 929τ

**Βιβλιοθήκη** (αποσπάσματα)
Απολλόδωρος

book 1

[...]
3.5

μίγνυται δὲ Ζεὺς Μήτιδι, μεταβαλλούσῃ εἰς πολλὰς ἰδέας ὑπὲρ τοῦ μὴ συνελθεῖν, καὶ αὐτὴν γενομένην ἔγκυον καταπίνει φθάσας, ἐπείπερ ἔλεγε <Γῆ> γεννήσειν παῖδα μετὰ τὴν μέλλουσαν ἐξ αὐτῆς γεννᾶσθαι κόρην, ὃς οὐρανοῦ δυνάστης γενήσεται. τοῦτο φοβηθεὶς κατέπιεν αὐτήν: ὡς δ᾽ ὁ τῆς γεννήσεως ἐνέστη χρόνος, πλήξαντος αὐτοῦ τὴν κεφαλὴν πελέκει Προμηθέως ἢ καθάπερ ἄλλοι λέγουσιν Ἡφαίστου, ἐκ κορυφῆς, ἐπὶ ποταμοῦ Τρίτωνος, Ἀθηνᾶ σὺν ὅπλοις ἀνέθορεν.

[…]
4.2

ἀπέκτεινε δὲ Ἀπόλλων καὶ τὸν Ὀλύμπου παῖδα Μαρσύαν. οὗτος γὰρ εὑρὼν αὐλούς, οὓς ἔρριψεν Ἀθηνᾶ διὰ τὸ τὴν ὄψιν αὐτῆς ποιεῖν ἄμορφον, ἦλθεν εἰς ἔριν περὶ μουσικῆς Ἀπόλλωνι.

book 2

1. 4

γίνονται δὲ ἐκ πολλῶν γυναικῶν Αἰγύπτῳ μὲν παῖδες πεντήκοντα, θυγατέρες δὲ Δαναῷ πεντήκοντα. στασιασάντων δὲ αὐτῶν περὶ τῆς ἀρχῆς ὕστερον, Δαναὸς τοὺς Αἰγύπτου παῖδας δεδοικώς, ὑποθεμένης Ἀθηνᾶς αὐτῷ ναῦν κατεσκεύασε πρῶτος καὶ τὰς θυγατέρας ἐνθέμενος ἔφυγε. προσσχὼν δὲ Ῥόδῳ τὸ τῆς Λινδίας ἄγαλμα Ἀθηνᾶς ἱδρύσατο. ἐντεῦθεν δὲ ἧκεν εἰς Ἄργος, καὶ τὴν βασιλείαν αὐτῷ παραδίδωσι Γελάνωρ ὁ τότε βασιλεύων <αὐτὸς δὲ κρατήσας τῆς χώρας ἀφ᾽ ἑαυτοῦ τοὺς ἐνοικοῦντας Δαναοὺς ὠνόμασε>.

[…5]

διὸ καθείρξας αὐτὴν Δαναὸς ἐφρούρει. αἱ δὲ ἄλλαι τῶν Δαναοῦ θυγατέρων τὰς μὲν κεφαλὰς τῶν νυμφίων ἐν τῇ Λέρνῃ κατώρυξαν, τὰ δὲ σώματα πρὸ τῆς πόλεως ἐκήδευσαν. καὶ αὐτὰς ἐκάθηραν Ἀθηνᾶ τε καὶ Ἑρμῆς Διὸς κελεύσαντος.

[…]

book 3

1.4.
Κάδμος δὲ ἀποθανοῦσαν θάψας Τηλέφασσαν, ὑπὸ Θρακῶν ξενισθείς, ἦλθεν εἰς Δελφοὺς περὶ τῆς Εὐρώπης πυνθανόμενος. ὁ δὲ θεὸς εἶπε περὶ μὲν Εὐρώπης μὴ πολυπραγμονεῖν, χρῆσθαι δὲ καθοδηγῷ βοΐ, καὶ πόλιν κτίζειν ἔνθα ἂν αὕτη πέσῃ καμοῦσα. τοιοῦτον λαβὼν χρησμὸν διὰ Φωκέων ἐπορεύετο, εἶτα βοῒ συντυχὼν ἐν τοῖς Πελάγοντος βουκολίοις ταύτῃ κατόπισθεν εἵπετο. ἡ δὲ διεξιοῦσα Βοιωτίαν ἐκλίθη, πόλις ἔνθα νῦν εἰσι Θῆβαι. βουλόμενος δὲ Ἀθηνᾷ καταθῦσαι τὴν βοῦν, πέμπει τινὰς τῶν μεθ᾽ ἑαυτοῦ ληψομένους ἀπὸ τῆς Ἀρείας κρήνης ὕδωρ: φρουρῶν δὲ τὴν κρήνην δράκων, ὃν ἐξ Ἄρεος εἶπόν τινες γεγονέναι, τοὺς πλείονας τῶν πεμφθέντων διέφθειρεν. ἀγανακτήσας δὲ Κάδμος κτείνει τὸν δράκοντα, καὶ τῆς Ἀθηνᾶς ὑποθεμένης τοὺς ὀδόντας αὐτοῦ σπείρει. τούτων δὲ σπαρέντων ἀνέτειλαν ἐκ γῆς ἄνδρες ἔνοπλοι, οὓς ἐκάλεσαν Σπαρτούς. οὗτοι δὲ ἀπέκτειναν ἀλλήλους, οἱ μὲν εἰς ἔριν ἀκούσιον ἐλθόντες, οἱ δὲ ἀγνοοῦντες. Φερεκύδης δέ φησιν ὅτι Κάδμος, ἰδὼν ἐκ γῆς ἀναφυομένους ἄνδρας ἐνόπλους, ἐπ᾽ αὐτοὺς ἔβαλε λίθους, οἱ δὲ ὑπ᾽ ἀλλήλων νομίζοντες βάλλεσθαι εἰς μάχην κατέστησαν. περιεσώθησαν δὲ πέντε, Ἐχίων Οὐδαῖος Χθονίος Ὑπερήνωρ Πέλωρος. [2] Κάδμος δὲ ἀνθ᾽ ὧν ἔκτεινεν ἀίδιον ἐνιαυτὸν ἐθήτευσεν Ἄρει: ἦν δὲ ὁ ἐνιαυτὸς τότε ὀκτὼ ἔτη.
μετὰ δὲ τὴν θητείαν Ἀθηνᾶ αὐτῷ τὴν βασιλείαν κατεσκεύασε, Ζεὺς δὲ ἔδωκεν αὐτῷ γυναῖκα Ἁρμονίαν, Ἀφροδίτης καὶ Ἄρεος θυγατέρα.

[…]
6.7.
ἦν δὲ παρὰ Θηβαίοις μάντις Τειρεσίας Εὐήρους καὶ Χαρικλοῦς νύμφης, ἀπὸ γένους Οὐδαίου τοῦ Σπαρτοῦ, γενόμενος τυφλὸς τὰς ὁράσεις. οὗ περὶ τῆς πηρώσεως καὶ τῆς μαντικῆς λέγονται λόγοι διάφοροι. ἄλλοι μὲν γὰρ αὐτὸν ὑπὸ θεῶν φασι τυφλωθῆναι, ὅτι τοῖς ἀνθρώποις ἃ κρύπτειν ἤθελον ἐμήνυε, Φερεκύδης δὲ ὑπὸ Ἀθηνᾶς αὐτὸν τυφλωθῆναι: οὖσαν γὰρ τὴν Χαρικλὼ προσφιλῆ τῇ Ἀθηνᾷ ... γυμνὴν ἐπὶ πάντα ἰδεῖν, τὴν δὲ ταῖς χερσὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ καταλαβομένην πηρὸν ποιῆσαι, Χαρικλοῦς δὲ δεομένης ἀποκαταστῆσαι πάλιν τὰς ὁράσεις, μὴ δυναμένην τοῦτο ποιῆσαι, τὰς ἀκοὰς διακαθάρασαν πᾶσαν ὀρνίθων φωνὴν ποιῆσαι συνεῖναι, καὶ σκῆπτρον αὐτῷ δωρήσασθαι κράνειον, ὃ φέρων ὁμοίως τοῖς βλέπουσιν ἐβάδιζεν.

[…8]
Μελάνιππος δὲ ὁ λοιπὸς τῶν Ἀστακοῦ παίδων εἰς τὴν γαστέρα Τυδέα τιτρώσκει. ἡμιθνῆτος δὲ αὐτοῦ κειμένου παρὰ Διὸς αἰτησαμένη Ἀθηνᾶ φάρμακον ἤνεγκε, δι᾽ οὗ ποιεῖν ἔμελλεν ἀθάνατον αὐτόν. Ἀμφιάραος δὲ αἰσθόμενος τοῦτο, μισῶν Τυδέα ὅτι παρὰ τὴν ἐκείνου γνώμην εἰς Θήβας ἔπεισε τοὺς Ἀργείους στρατεύεσθαι, τὴν Μελανίππου κεφαλὴν ἀποτεμὼν ἔδωκεν αὐτῷ [ τιτρωσκόμενος δὲ Τυδεὺς ἔκτεινεν αὐτόν]. ὁ δὲ διελὼν τὸν ἐγκέφαλον ἐξερρόφησεν. ὡς δὲ εἶδεν Ἀθηνᾶ, μυσαχθεῖσα τὴν εὐεργεσίαν ἐπέσχε τε καὶ ἐφθόνησεν.

[…]
9.

[…]
Ἀλεοῦ δὲ καὶ Νεαίρας τῆς Περέως θυγάτηρ μὲν Αὔγη, υἱοὶ δὲ Κηφεὺς καὶ Λυκοῦργος. Αὔγη μὲν οὖν ὑφ᾽ Ἡρακλέους φθαρεῖσα κατέκρυψε τὸ βρέφος ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς, ἧς εἶχε τὴν ἱερωσύνην. ἀκάρπου δὲ τῆς γῆς μενούσης, καὶ μηνυόντων τῶν χρησμῶν εἶναί τι ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς δυσσέβημα, φωραθεῖσα ὑπὸ τοῦ πατρὸς παρεδόθη Ναυπλίῳ ἐπὶ θανάτῳ παρ᾽ οὗ Τεύθρας ὁ Μυσῶν δυνάστης παραλαβὼν αὐτὴν ἔγημε.

[…]
10.3.

[…]

καὶ γενόμενος χειρουργικὸς καὶ τὴν τέχνην ἀσκήσας ἐπὶ πολὺ οὐ μόνον ἐκώλυέ τινας ἀποθνήσκειν, ἀλλ᾽ ἀνήγειρε καὶ τοὺς ἀποθανόντας: παρὰ γὰρ Ἀθηνᾶς λαβὼν τὸ ἐκ τῶν φλεβῶν τῆς Γοργόνος ῥυὲν αἷμα, τῷ μὲν ἐκ τῶν ἀριστερῶν ῥυέντι πρὸς φθορὰν ἀνθρώπων ἐχρῆτο, τῷ δὲ ἐκ τῶν δεξιῶν πρὸς σωτηρίαν, καὶ διὰ τούτου τοὺς τεθνηκότας ἀνήγειρεν.

[…]
12.3

[…]
ἱστορία δὲ ἡ περὶ τοῦ παλλαδίου τοιάδε φέρεται: φασὶ γεννηθεῖσαν τὴν Ἀθηνᾶν παρὰ Τρίτωνι τρέφεσθαι, ᾧ θυγάτηρ ἦν Παλλάς: ἀμφοτέρας δὲ ἀσκούσας τὰ κατὰ πόλεμον εἰς φιλονεικίαν ποτὲ προελθεῖν. μελλούσης δὲ πλήττειν τῆς Παλλάδος τὸν Δία φοβηθέντα τὴν αἰγίδα προτεῖναι, τὴν δὲ εὐλαβηθεῖσαν ἀναβλέψαι, καὶ οὕτως ὑπὸ τῆς Ἀθηνᾶς τρωθεῖσαν πεσεῖν. Ἀθηνᾶν δὲ περίλυπον ἐπ᾽ αὐτῇ γενομένην, ξόανον ἐκείνης ὅμοιον κατασκευάσαι, καὶ περιθεῖναι τοῖς στέρνοις ἣν ἔδεισεν αἰγίδα, καὶ τιμᾶν ἱδρυσαμένην παρὰ τῷ Διί. ὕστερον δὲ Ἠλέκτρας κατὰ τὴν φθορὰν τούτῳ προσφυγούσης, Δία ῥῖψαι [μετ᾽ Ἄτης καὶ] τὸ παλλάδιον εἰς τὴν Ἰλιάδα χώραν, Ἶλον δὲ τούτῳ ναὸν κατασκευάσαντα τιμᾶν. καὶ περὶ μὲν τοῦ παλλαδίου ταῦτα λέγεται.

[…]
14.

Κέκροψ αὐτόχθων, συμφυὲς ἔχων σῶμα ἀνδρὸς καὶ δράκοντος, τῆς Ἀττικῆς ἐβασίλευσε πρῶτος, καὶ τὴν γῆν πρότερον λεγομένην Ἀκτὴν ἀφ᾽ ἑαυτοῦ Κεκροπίαν ὠνόμασεν. ἐπὶ τούτου, φασίν, ἔδοξε τοῖς θεοῖς πόλεις καταλαβέσθαι, ἐν αἷς ἔμελλον ἔχειν τιμὰς ἰδίας ἕκαστος. ἧκεν οὖν πρῶτος Ποσειδῶν ἐπὶ τὴν Ἀττικήν, καὶ πλήξας τῇ τριαίνῃ κατὰ μέσην τὴν ἀκρόπολιν ἀπέφηνε θάλασσαν, ἣν νῦν Ἐρεχθηίδα καλοῦσι. μετὰ δὲ τοῦτον ἧκεν Ἀθηνᾶ, καὶ ποιησαμένη τῆς καταλήψεως Κέκροπα μάρτυρα ἐφύτευσεν ἐλαίαν, ἣ νῦν ἐν τῷ Πανδροσείῳ δείκνυται. γενομένης δὲ ἔριδος ἀμφοῖν περὶ τῆς χώρας, διαλύσας Ζεὺς κριτὰς ἔδωκεν, οὐχ ὡς εἶπόν τινες, Κέκροπα καὶ Κραναόν, οὐδὲ Ἐρυσίχθονα, θεοὺς δὲ τοὺς δώδεκα. καὶ τούτων δικαζόντων ἡ χώρα τῆς Ἀθηνᾶς ἐκρίθη, Κέκροπος μαρτυρήσαντος ὅτι πρώτη τὴν ἐλαίαν ἐφύτευσεν. Ἀθηνᾶ μὲν οὖν ἀφ᾽ ἑαυτῆς τὴν πόλιν ἐκάλεσεν Ἀθήνας, Ποσειδῶν δὲ θυμῷ ὀργισθεὶς τὸ Θριάσιον πεδίον ἐπέκλυσε καὶ τὴν Ἀττικὴν ὕφαλον ἐποίησε.

[…6.]
Κραναὸν δὲ ἐκβαλὼν Ἀμφικτύων ἐβασίλευσε: τοῦτον ἔνιοι μὲν Δευκαλίωνος, ἔνιοι δὲ αὐτόχθονα λέγουσι. βασιλεύσαντα δὲ αὐτὸν ἔτη δώδεκα Ἐριχθόνιος ἐκβάλλει. τοῦτον οἱ μὲν Ἡφαίστου καὶ τῆς Κραναοῦ θυγατρὸς Ἀτθίδος εἶναι λέγουσιν, οἱ δὲ Ἡφαίστου καὶ Ἀθηνᾶς, οὕτως: Ἀθηνᾶ παρεγένετο πρὸς Ἥφαιστον, ὅπλα κατασκευάσαι θέλουσα. ὁ δὲ ἐγκαταλελειμμένος ὑπὸ Ἀφροδίτης εἰς ἐπιθυμίαν ὤλισθε τῆς Ἀθηνᾶς, καὶ διώκειν αὐτὴν ἤρξατο: ἡ δὲ ἔφευγεν. ὡς δὲ ἐγγὺς αὐτῆς ἐγένετο πολλῇ ἀνάγκῃ （ἦν γὰρ χωλός）, ἐπειρᾶτο συνελθεῖν. ἡ δὲ ὡς σώφρων καὶ παρθένος οὖσα οὐκ ἠνέσχετο: ὁ δὲ ἀπεσπέρμηνεν εἰς τὸ σκέλος τῆς θεᾶς. ἐκείνη δὲ μυσαχθεῖσα ἐρίῳ ἀπομάξασα τὸν γόνον εἰς γῆν ἔρριψε. φευγούσης δὲ αὐτῆς καὶ τῆς γονῆς εἰς γῆν πεσούσης Ἐριχθόνιος γίνεται. τοῦτον Ἀθηνᾶ κρύφα τῶν ἄλλων θεῶν ἔτρεφεν, ἀθάνατον θέλουσα ποιῆσαι: καὶ καταθεῖσα αὐτὸν εἰς κίστην Πανδρόσῳ τῇ Κέκροπος παρακατέθετο, ἀπειποῦσα τὴν κίστην ἀνοίγειν. αἱ δὲ ἀδελφαὶ τῆς Πανδρόσου ἀνοίγουσιν ὑπὸ περιεργίας, καὶ θεῶνται τῷ βρέφει παρεσπειραμένον δράκοντα: καὶ ὡς μὲν ἔνιοι λέγουσιν, ὑπ᾽ αὐτοῦ διεφθάρησαν τοῦ δράκοντος, ὡς δὲ ἔνιοι, δι᾽ ὀργὴν Ἀθηνᾶς ἐμμανεῖς γενόμεναι κατὰ τῆς ἀκροπόλεως αὑτὰς ἔρριψαν. ἐν δὲ τῷ τεμένει τραφεὶς Ἐριχθόνιος ὑπ᾽ αὐτῆς Ἀθηνᾶς, ἐκβαλὼν Ἀμφικτύονα ἐβασίλευσεν Ἀθηνῶν, καὶ τὸ ἐν ἀκροπόλει ξόανον τῆς Ἀθηνᾶς ἱδρύσατο, καὶ τῶν Παναθηναίων τὴν ἑορτὴν συνεστήσατο, καὶ Πραξιθέαν νηίδα νύμφην ἔγημεν, ἐξ ἧς αὐτῷ παῖς Πανδίων ἐγεννήθη. [7.]

15.
Ἐριχθονίου δὲ ἀποθανόντος καὶ ταφέντος ἐν τῷ αὐτῷ τεμένει τῆς Ἀθηνᾶς Πανδίων ἐβασίλευσεν, ἐφ᾽ οὗ Δημήτηρ καὶ Διόνυσος εἰς τὴν Ἀττικὴν ἦλθον.

## **ΦΟΡΩΝΙΣ** (απόσπασμα)

Oxyrhynchus papyrus (second century CE)

Καὶ ό τὴν φορ[ωνίδα] πεποιηκώς, ἐν ο[ι῟ς φη]σιν˙
Οὐδέ τι κούρ[η ἀρκέσει ἐγεμάχη [δο]λιχάορος ἀγρομένοισιν.

## **Ἀσπὶς Ἡρακλέους** (απόσπασμα)

[...]
ὣς εἰπὼν κνημῖδας ὀρειχάλκοιο φαεινοῦ,
Ἡφαίστου κλυτὰ δῶρα, περὶ κνήμῃσιν ἔθηκεν:
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε
καλὸν χρύσειον πολυδαίδαλον, ὅν οἱ ἔδωκε
Παλλὰς Ἀθηναίη, κούρη Διός, ὁππότ᾽ ἔμελλε
τὸ πρῶτον στονόεντας ἐφορμήσεσθαι ἀέθλους.

[…]
ἀγχίμολον δέ σφ᾽ ἦλθε θεὰ γλαυκῶπις Ἀθήνη,
καί σφεας θαρσύνουσα ἔπεα πτερόεντα προσηύδα:
χαίρετε, Λυγκῆος γενεὴ τηλεκλειτοῖο:
νῦν δὴ Ζεὺς κράτος ὔμμι διδοῖ μακάρεσσιν ἀνάσσων
Κύκνον τ᾽ ἐξεναρεῖν καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι.
ἄλλο δὲ τοί τι ἔπος ἐρέω, μέγα φέρτατε λαῶν:
εὖτ᾽ ἂν δὴ Κύκνον γλυκερῆς αἰῶνος ἀμέρσῃς,
τὸν μὲν ἔπειτ᾽ αὐτοῦ λιπέειν καὶ τεύχεα τοῖο,
αὐτὸς δὲ βροτολοιγὸν Ἄρην ἐπιόντα δοκεύσας,
ἔνθα κε γυμνωθέντα σάκευς ὕπο δαιδαλέοιο
ὀφθαλμοῖσιν ἴδῃς, ἔνθ᾽ οὐτάμεν ὀξέι χαλκῷ:
ἂψ δ᾽ ἀναχάσσασθαι: ἐπεὶ οὔ νύ τοι αἴσιμόν ἐστιν
οὔθ᾽ ἵππους ἑλέειν οὔτε κλυτὰ τεύχεα τοῖο.

ὣς εἰποῦσ᾽ ἐς δίφρον ἐβήσατο δῖα θεάων,
νίκην ἀθανάτης χερσὶν καὶ κῦδος ἔχουσα,
ἐσσυμένως. τότε δή ῥα διόγνητος ᾿Ιόλαος
σμερδαλέον ἵπποισιν ἐκέκλετο: τοὶ δ᾽ ὑπ᾽ ὁμοκλῆς
ῥίμφ᾽ ἔφερον θοὸν ἅρμα κονίοντες πεδίοιο.
ἐν γάρ σφιν μένος ἧκε θεὰ γλαυκῶπις Ἀθήνη
αἰγίδ᾽ ἀνασσείσασα: περιστονάχησε δὲ γαῖα.

αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
ἀντίη ἦλθεν Ἄρηος ἐρεμνὴν αἰγίδ᾽ ἔχουσα:
δεινὰ δ᾽ ὑπόδρα ἰδοῦσα ἔπεα πτερόεντα προσηύδα:

Ἆρες, ἔπισχε μένος κρατερὸν καὶ χεῖρας ἀάπτους:
οὐ γάρ τοι θέμις ἐστὶν ἀπὸ κλυτὰ τεύχεα δῦσαι
Ἡρακλέα κτείναντα, Διὸς θρασυκάρδιον υἱόν:
ἀλλ᾽ ἄγε παῦε μάχην, μηδ᾽ ἀντίος ἵστασ᾽ ἐμεῖο.

ὣς ἔφατ᾽: ἀλλ᾽ οὐ πεῖθ᾽ Ἄρεος μεγαλήτορα θυμόν,
ἀλλὰ μέγα ἰάχων φλογὶ εἴκελά τ᾽ ἔγχεα πάλλων
καρπαλίμως ἐπόρουσε βίῃ Ἡρακληείῃ
κακτάμεναι μεμαώς: καί ῥ᾽ ἔμβαλε χάλκεον ἔγχος,
σπερχνὸν παιδὸς ἑοῦ κοτέων πέρι τεθνηῶτος,
ἐν σάκεϊ μεγάλῳ. ἀπὸ δὲ γλαυκῶπις Ἀθήνη
ἔγχεος ὁρμὴν ἔτραπ᾽ ὀρεξαμένη ἀπὸ δίφρου.

[...] ἀτὰρ γλαυκῶπις Ἀθήνη
ἐξίκετ᾽ Οὔλυμπόν τε μέγαν καὶ δώματα πατρός.

## **ΠΕΙΣΑΝΔΡΟΥ ΗΡΑΚΛΕΙΑ** (απόσπασμα)

6 Schol. Pind. *Pyth*. 9.185α
Οι῾ δέ φασιν ὁ῾τι τω῀ι Ἡρακλει῀ πολλα` μογήσαντι, περι` Θερμοπύλας ἡ Ἀθηνα῀ θηρμα` λοθτρα` ε᾽παφη῀κεν, ώς Πείσανδρος˙
Τω῀ι δ᾽ ε᾽ν Θερμοπύληισι θεα` γλαυκω῀πις Ἀθηνα ποίει θερμα` λοετρα` παρα` ρ῾ηγμι῀νι θαλάσσης.

## **Ἀργοναυτικά** (αποσπάσματα)

Ἀπολλώνιος Ῥόδιος

1.
[…]

18 Νῆα μὲν οὖν οἱ πρόσθεν ἐπικλείουσιν ἀοιδοὶ
19 Ἄργον Ἀθηναίης καμέειν ὑποθημοσύνῃσιν.
[…]

105 Τῖφυς δ' Ἁγνιάδης Σιφαέα κάλλιπε δῆμον
106 Θεσπιέων, ἐσθλὸς μὲν ὀρινόμενον προδαῆναι
107 κῦμ' ἁλὸς εὐρείης, ἐσθλὸς δ' ἀνέμοιο θυέλλας
108 καὶ πλόον ἠελίῳ τε καὶ ἀστέρι τεκμήρασθαι.
109 αὐτή μιν Τριτωνὶς ἀριστήων ἐς ὅμιλον
110 ὦρσεν Ἀθηναίη, μετὰ δ' ἤλυθεν ἐλδομένοισιν.

111 αὐτὴ γὰρ καὶ νῆα θοὴν κάμε: σὺν δέ οἱ Ἄργος
112 τεῦξεν Ἀρεστορίδης κείνης ὑποθημοσύνῃσιν.
113 τῶ καὶ πασάων προφερεστάτη ἔπλετο νηῶν,
114 ὅσσαι ὑπ' εἰρεσίῃσιν ἐπειρήσαντο θαλάσσης.

[…]

224 Οὐδὲ μὲν οὐδ' αὐτοῖο πάις μενέαινεν Ἄκαστος
225 ἰφθίμου Πελίαο δόμοις ἔνι πατρὸς ἑῆος
226 μιμνάζειν, Ἄργος τε θεᾶς ὑποεργὸς Ἀθήνης:
227 ἀλλ' ἄρα καὶ τὼ μέλλον ἐνικρινθῆναι ὁμίλῳ.

[…]

292 Ὣς ἥγε στενάχουσα κινύρετο: ταὶ δὲ γυναῖκες
293 ἀμφίπολοι γοάασκον ἐπισταδόν: αὐτὰρ ὁ τήνγε
294 μειλιχίοις ἐπέεσσι παρηγορέων προσέειπεν:
295 "Μή μοι λευγαλέας ἐνιβάλλεο, μῆτερ, ἀνίας
296 ὧδε λίην, ἐπεὶ οὐ μὲν ἐρητύσεις κακότητος
297 δάκρυσιν, ἀλλ' ἔτι κεν καὶ ἐπ' ἄλγεσιν ἄλγος ἄροιο.
298 πήματα γάρ τ' ἀίδηλα θεοὶ θνητοῖσι fέμουσιν,
299 τῶν μοῖραν κατὰ θυμὸν ἀνιάζουσά περ ἔμπης
300 τλῆθι φέρειν: θάρσει δὲ συνημοσύνῃσιν Ἀθήνης,
301 ἠδὲ θεοπροπίοισιν, ἐπεὶ μάλα δεξιὰ Φοῖβος
302 ἔχρη, ἀτὰρ μετέπειτά γ' ἀριστήων ἐπαρωγῇ.
[…]
19 Αὐτὰρ ὅτ' αἰγλήεσσα φαεινοῖς ὄμμασιν Ἠὼς
520 Πηλίου αἰπεινὰς ἴδεν ἄκριας, ἐκ δ' ἀνέμοιο
521 εὔδιοι ἐκλύζοντο τινασσομένης ἁλὸς ἄκραι,
522 δὴ τότ' ἀνέγρετο Τῖφυς: ἄφαρ δ' ὀρόθυνεν ἑταίρους
523 βαινέμεναί τ' ἐπὶ νῆα καὶ ἀρτύνασθαι ἐρετμά.
524 σμερδαλέον δὲ λιμὴν Παγασήιος ἠδὲ καὶ αὐτὴ
525 Πηλιὰς ἴαχεν Ἀργὼ ἐπισπέρχουσα νέεσθαι.
526 ἐν γάρ οἱ δόρυ θεῖον ἐλήλατο, τό ῥ' ἀνὰ μέσσην
527 στεῖραν Ἀθηναίη Δωδωνίδος ἥρμοσε φηγοῦ.

[…]

547 πάντες δ' οὐρανόθεν λεῦσσον θεοὶ ἤματι κείνῳ
548 νῆα καὶ ἡμιθέων ἀνδρῶν μένος, οἳ τότ' ἄριστοι
549 πόντον ἐπιπλώεσκον: ἐπ' ἀκροτάτῃσι δὲ νύμφαι
550 Πηλιάδες κορυφῇσιν ἐθάμβεον εἰσορόωσαι
551 ἔργον Ἀθηναίης Ἰτωνίδος, ἠδὲ καὶ αὐτοὺς
552 ἥρωας χείρεσσιν ἐπικραδάοντας ἐρετμά.

[…]

627 τῇσι δὲ βουκόλιαί τε βοῶν χάλκειά τε δύνειν
628 τεύχεα, πυροφόρους τε διατμήξασθαι ἀρούρας
629 ῥηίτερον πάσῃσιν Ἀθηναίης πέλεν ἔργων,
630 οἷς αἰεὶ τὸ πάροιθεν ὁμίλεον. […]

721 Αὐτὰρ ὅγ' ἀμφ' ὤμοισι θεᾶς Τριτωνίδος ἔργον,
722 δίπλακα πορφυρέην περονήσατο, τήν οἱ ὄπασσεν
723 Παλλάς, ὅτε πρῶτον δρυόχους ἐπεβάλλετο νηὸς
724 Ἀργοῦς, καὶ κανόνεσσι δάε ζυγὰ μετρήσασθαι.
725 τῆς μὲν ῥηίτερόν κεν ἐς ἠέλιον ἀνιόντα
726 ὄσσε βάλοις, ἢ κεῖνο μεταβλέψειας ἔρευθος.
727 δὴ γάρ τοι μέσση μὲν ἐρευθήεσσ' ἐτέτυκτο,
728 ἄκρα δὲ πορφυρέη πάντῃ πέλεν: ἐν δ' ἄρ' ἑκάστῳ
729 τέρματι δαίδαλα πολλὰ διακριδὸν εὖ ἐπέπαστο.
730 Ἐν μὲν ἔσαν Κύκλωπες ἐπ' ἀφθίτῳ ἥμενοι ἔργῳ,
731 Ζηνὶ κεραυνὸν ἄνακτι πονεύμενοι: ὃς τόσον ἤδη
732 παμφαίνων ἐτέτυκτο, μιῆς δ' ἔτι δεύετο μοῦνον
733 ἀκτῖνος, τὴν οἵδε σιδηρείῃς ἐλάασκον
734 σφύρῃσιν, μαλεροῖο πυρὸς ζείουσαν ἀυτμήν.
735 Ἐν δ' ἔσαν Ἀντιόπης Ἀσωπίδος υἱέε δοιώ,
736 Ἀμφίων καὶ Ζῆθος: ἀπύργωτος δ' ἔτι Θήβη
737 κεῖτο πέλας, τῆς οἵγε νέον βάλλοντο δομαίους
738 ἱέμενοι. Ζῆθος μὲν ἐπωμαδὸν ἠέρταζεν
739 οὔρεος ἠλιβάτοιο κάρη, μογέοντι ἐοικώς:
740 Ἀμφίων δ' ἐπί οἱ χρυσέῃ φόρμιγγι λιγαίνων
741 ἤιε, δὶς τόσση δὲ μετ' ἴχνια νίσσετο πέτρη
742 Ἑξείης δ' ἤσκητο βαθυπλόκαμος Κυθέρεια
743 Ἄρεος ὀχμάζουσα θοὸν σάκος: ἐκ δέ οἱ ὤμου
744 πῆχυν ἔπι σκαιὸν ξυνοχὴ κεχάλαστο χιτῶνος
745 νέρθεν ὑπὲκ μαζοῖο: τὸ δ' ἀντίον ἀτρεκὲς αὔτως
746 χαλκείῃ δείκηλον ἐν ἀσπίδι φαίνετ' ἰδέσθαι.
747 Ἐν δὲ βοῶν ἔσκεν λάσιος νομός: ἀμφὶ δὲ βουσὶν
748 Τηλεβόαι μάρναντο καὶ υἱέες Ἠλεκτρύωνος:
749 οἱ μὲν ἀμυνόμενοι, ἀτὰρ οἵγ' ἐθέλοντες ἀμέρσαι,
750 ληισταὶ Τάφιοι: τῶν δ' αἵματι δεύετο λειμὼν
751 ἑρσήεις, πολέες δ' ὀλίγους βιόωντο νομῆας.
752 Ἐν δὲ δύω δίφροι πεπονήατο δηριόωντες.
753 καὶ τὸν μὲν προπάροιθε Πέλοψ ἴθυνε, τινάσσων
754 ἡνία, σὺν δέ οἱ ἔσκε παραιβάτις Ἱπποδάμεια:
755 τὸν δὲ μεταδρομάδην ἐπὶ Μυρτίλος ἤλασεν ἵππους,
756 σὺν τῷ δ' Οἰνόμαος προτενὲς δόρυ χειρὶ μεμαρπὼς
757 ἄξονος ἐν πλήμνῃσι παρακλιδὸν ἀγνυμένοιο
758 πῖπτεν, ἐπεσσύμενος Πελοπήια νῶτα δαΐξαι.

759 Ἐν καὶ Ἀπόλλων Φοῖβος ὀιστεύων ἐτέτυκτο,
760 βούπαις οὔπω πολλός, ἑὴν ἐρύοντα καλύπτρης
761 μητέρα θαρσαλέως Τιτυὸν μέγαν, ὅν ῥ' ἔτεκέν γε
762 δῖ' Ἐλάρη, θρέψεν δὲ καὶ ἂψ ἐλοχεύσατο Γαῖα.
763 Ἐν καὶ Φρίξος ἔην Μινυήιος ὡς ἐτεόν περ
764 εἰσαΐων κριοῦ, ὁ δ' ἄρ' ἐξενέποντι ἐοικώς.
765 κείνους κ' εἰσορόων ἀκέοις, ψεύδοιό τε θυμόν,
766 ἐλπόμενος πυκινήν τιν' ἀπὸ σφείων ἐσακοῦσαι
767 βάξιν, ὃ καὶ δηρόν περ ἐπ' ἐλπίδι θηήσαιο.
768 Τοῖ' ἄρα δῶρα θεᾶς Τριτωνίδος ἦεν Ἀθήνης.

[…]

955 κεῖσε καὶ εὐναίης ὀλίγον λίθον ἐκλύσαντες
956 Τίφυος ἐννεσίῃσιν ὑπὸ κρήνῃ ἐλίποντο,
957 κρήνῃ ὑπ' Ἀρτακίῃ: ἕτερον δ' ἕλον, ὅστις ἀρήρει,
958 βριθύν: ἀτὰρ κεῖνόν γε θεοπροπίαις Ἑκάτοιο
959 Νηλεΐδαι μετόπισθεν Ἰάονες ἱδρύσαντο
960 ἱερόν, ἣ θέμις ἦεν, Ἰησονίης ἐν Ἀθήνης.

2.

537 Οὐδ' ἄρ' Ἀθηναίην προτέρω λάθον ὁρμηθέντες:
538 αὐτίκα δ' ἐσσυμένως νεφέλης ἐπιβᾶσα πόδεσσιν
539 κούφης, ἥ κε φέροι μιν ἄφαρ βριαρήν περ ἐοῦσαν,
540 σεύατ' ἴμεν πόντονδε, φίλα φρονέουσ' ἐρέτῃσιν.
541 ὡς δ' ὅτε τις πάτρηθεν ἀλώμενος, οἷά τε πολλὰ
542 πλαζόμεθ' ἄνθρωποι τετληότες, οὐδέ τις αἶα
543 τηλουρός, πᾶσαι δὲ κατόψιοί εἰσι κέλευθοι,
544 σφωιτέρους δ' ἐνόησε δόμους, ἄμυδις δὲ κέλευθος
545 ὑγρή τε τραφερή τ' ἰνδάλλεται, ἄλλοτε δ' ἄλλῃ
546 ὀξέα πορφύρων ἐπιμαίεται ὀφθαλμοῖσιν:
547 ὣς ἄρα καρπαλίμως κούρη Διὸς ἀίξασα
548 θῆκεν ἐπ' ἀξείνοιο πόδας Θυνηίδος ἀκτῆς.
[…]

598 καὶ τότ' Ἀθηναίη στιβαρῆς ἀντέσπασε πέτρης
599 σκαιῇ, δεξιτερῇ δὲ διαμπερὲς ὦσε φέρεσθαι.
600 ἡ δ' ἰκέλη πτερόεντι μετήορος ἔσσυτ' ὀιστῷ.
601 ἔμπης δ' ἀφλάστοιο παρέθρισαν ἄκρα κόρυμβα
602 νωλεμὲς ἐμπλήξασαι ἐναντίαι. αὐτὰρ Ἀθήνη
603 Οὔλυμπόνδ' ἀνόρουσεν, ὅτ' ἀσκηθεῖς ὑπάλυξαν.
604 πέτραι δ' εἰς ἕνα χῶρον ἐπισχεδὸν ἀλλήλῃσιν
605 νωλεμὲς ἐρρίζωθεν, ὃ δὴ καὶ μόρσιμον ἦεν
606 ἐκ μακάρων, εὖτ' ἄν τις ἰδὼν διὰ νηὶ περήσῃ.
607 οἱ δέ που ὀκρυόεντος ἀνέπνεον ἄρτι φόβοιο

608 ἠέρα παπταίνοντες ὁμοῦ πέλαγός τε θαλάσσης
609 τῆλ' ἀναπεπτάμενον. δὴ γὰρ φάσαν ἐξ Ἀίδαο
610 σώεσθαι: Τῖφυς δὲ παροίτατος ἤρχετο μύθων:

611 "Ἔλπομαι αὐτῇ νηὶ τόγ' ἔμπεδον ἐξαλέασθαι
612 ἡμέας: οὐδέ τις ἄλλος ἐπαίτιος, ὅσσον Ἀθήνη,
613 ἥ οἱ ἐνέπνευσεν θεῖον μένος, εὖτέ μιν Ἄργος
614 γόμφοισιν συνάρασσε: θέμις δ' οὐκ ἔστιν ἁλῶναι.
615 Αἰσονίδη, τύνη δὲ τεοῦ βασιλῆος ἐφετμήν,
616 εὖτε διὲκ πέτρας φυγέειν θεὸς ἧμιν ὄπασσεν,
617 μηκέτι δείδιθι τοῖον: ἐπεὶ μετόπισθεν ἀέθλους
618 εὐπαλέας τελέεσθαι Ἀγηνορίδης φάτο Φινεύς."

[…]

1177 αὐτὰρ ἐπεὶ ῥέξαντες ἐπαρτέα δαῖτ' ἐπάσαντο,
1178 δὴ τότ ἄρ' Αἰσονίδης μετεφώνεεν, ἦρχέ τε μύθων:
[…]

1187 τὴν γὰρ Ἀθηναίη τεχνήσατο, καὶ τάμε χαλκῷ
1188 δούρατα Πηλιάδος κορυφῆς πέρι: σὺν δέ οἱ Ἄργος
1189 τεῦξεν. ἀτὰρ κείνην γε κακὸν διὰ κῦμ' ἐκέδασσεν,
1190 πρὶν καὶ πετράων σχεδὸν ἐλθεῖν, αἵ τ' ἐνὶ πόντῳ
1191 στεινωπῷ συνίασι πανήμεροι ἀλλήλῃσιν.
[…]

3.
6 Ὣς οἱ μὲν πυκινοῖσιν ἀνωίστως δονάκεσσιν
7 μίμνον ἀριστῆες λελοχημένοι: αἱ δ' ἐνόησαν
8 Ἥρη Ἀθηναίη τε, Διὸς δ' αὐτοῖο καὶ ἄλλων
9 ἀθανάτων ἀπονόσφι θεῶν θάλαμόνδε κιοῦσαι
10 βούλευον: πείραζε δ' Ἀθηναίην πάρος Ἥρη:

11 "Αὐτὴ νῦν προτέρη, θύγατερ Διός, ἄρχεο βουλῆς.
12 τί χρέος; ἠὲ δόλον τινὰ μήσεαι, ᾧ κεν ἑλόντες
13 χρύσεον Αἰήταο μεθ' Ἑλλάδα κῶας ἄγοιντο,
14 ἦ καὶ τόνγ' ἐπέεσσι παραιφάμενοι πεπίθοιεν
15 μειλιχίοις; ἦ γὰρ ὅγ' ὑπερφίαλος πέλει αἰνῶς.
16 ἔμπης δ' οὔτινα πεῖραν ἀποτρωπᾶσθαι ἔοικεν."

17 Ὣς φάτο: τὴν δὲ παρᾶσσον Ἀθηναίη προσέειπεν:
18 "Καὶ δ' αὐτὴν ἐμὲ τοῖα μετὰ φρεσὶν ὁρμαίνουσαν,
19 Ἥρη, ἀπηλεγέως ἐξείρεαι. ἀλλά τοι οὔπω
20 φράσσασθαι νοέω τοῦτον δόλον, ὅστις ὀνήσει
21 θυμὸν ἀριστήων: πολέας δ' ἐπεδοίασα βουλάς."

22 Ἦ, καὶ ἐπ' οὔδεος αἴγε ποδῶν πάρος ὄμματ' ἔπηξαν,
23 ἄνδιχα πορφύρουσαι ἐνὶ σφίσιν: αὐτίκα δ' Ἥρη
24 τοῖον μητιόωσα παροιτέρη ἔκφατο μῦθον:
25 "Δεῦρ' ἴομεν μετὰ Κύπριν: ἐπιπλόμεναι δέ μιν ἄμφω
26 παιδὶ ἑῷ εἰπεῖν ὀτρύνομεν, αἴ κε πίθηται
27 κούρην Αἰήτεω πολυφάρμακον οἷσι βέλεσσιν
28 θέλξαι ὀιστεύσας ἐπ' Ἰήσονι. τὸν δ' ἂν ὀίω
29 κείνης ἐννεσίῃσιν ἐς Ἑλλάδα κῶας ἀνάξειν."

30 Ὣς ἄρ' ἔφη: πυκινὴ δὲ συνεύαδε μῆτις Ἀθήνῃ,
31 καί μιν ἔπειτ' ἐξαῦτις ἀμείβετο μειλιχίοισιν:

32 "Ἥρη, νήιδα μέν με πατὴρ τέκε τοῖο βολάων,
33 οὐδέ τινα χρειὼ θελκτήριον οἶδα πόθοιο.
34 εἰ δέ σοι αὐτῇ μῦθος ἐφανδάνει, ἦ τ' ἂν ἔγωγε
35 ἑσποίμην: σὺ δέ κεν φαίης ἔπος ἀντιόωσα."

36 Ἦ, καὶ ἀναΐξασαι ἐπὶ μέγα δῶμα νέοντο
37 Κύπριδος, ὅ ῥά τέ οἱ δεῖμεν πόσις ἀμφιγυήεις,
38 ὁππότε μιν τὰ πρῶτα παραὶ Διὸς ἦγεν ἄκοιτιν.
39 ἕρκεα δ' εἰσελθοῦσαι ὑπ' αἰθούσῃ θαλάμοιο
40 ἔσταν, ἵν' ἐντύνεσκε θεὰ λέχος Ἡφαίστοιο.

[…]

45 λευκοῖσιν δ' ἑκάτερθε κόμας ἐπιειμένη ὤμοις
46 κόσμει χρυσείῃ διὰ κερκίδι, μέλλε δὲ μακροὺς
47 πλέξασθαι πλοκάμους: τὰς δὲ προπάροιθεν ἰδοῦσα
48 ἔσχεθεν, εἴσω τέ σφ' ἐκάλει, καὶ ἀπὸ θρόνου ὦρτο,
49 εἷσέ τ' ἐνὶ κλισμοῖσιν: ἀτὰρ μετέπειτα καὶ αὐτὴ
50 ἵζανεν, ἀψήκτους δὲ χεροῖν ἀνεδήσατο χαίτας.
51 τοῖα δὲ μειδιόωσα προσέννεπεν αἱμυλίοισιν:

52 "Ἠθεῖαι, τίς δεῦρο νόος χρειω τε κομίζει
53 δηναιὰς αὔτως; τί δ' ἱκάνετον, οὔτι πάρος γε
54 λίην φοιτίζουσαι, ἐπεὶ περίεστε θεάων;"

[…]

90 Ὣς ἄρ' ἔφη: Κύπρις δὲ μετ' ἀμφοτέρῃσιν ἔειπεν:
91 "Ἥρη, Ἀθηναίη τε, πίθοιτό κεν ὔμμι μάλιστα,
92 ἢ ἐμοί. ὑμείων γὰρ ἀναιδήτῳ περ ἐόντι
93 τυτθή γ' αἰδὼς ἔσσετ' ἐν ὄμμασιν: αὐτὰρ ἐμεῖο
94 οὐκ ὄθεται, μάλα δ' αἰὲν ἐριδμαίνων ἀθερίζει.

95 καὶ δή οἱ μενέηνα, περισχομένη κακότητι,
96 αὐτοῖσιν τόξοισι δυσηχέας ἆξαι ὀιστοὺς
97 ἀμφαδίην. τοῖον γὰρ ἐπηπείλησε χαλεφθείς,
98 εἰ μὴ τηλόθι χεῖρας, ἕως ἔτι θυμὸν ἐρύκει,
99 ἕξω ἐμάς, μετέπειτά γ' ἀτεμβοίμην ἑοῖ αὐτῇ."

100 Ὧς φάτο: μείδησαν δὲ θεαί, καὶ ἐσέδρακον ἄντην
101 ἀλλήλαις. ἡ δ' αὖτις ἀκηχεμένη προσέειπεν:
102 "Ἄλλοις ἄλγεα τἀμὰ γέλως πέλει: οὐδέ τί με χρὴ
103 μυθεῖσθαι πάντεσσιν: ἅλις εἰδυῖα καὶ αὐτή.
104 νῦν δ' ἐπεὶ ὔμμι φίλον τόδε δὴ πέλει ἀμφοτέρῃσιν,
105 πειρήσω, καί μιν μειλίξομαι, οὐδ' ἀπιθήσει."

[…]

111 Ἦ ῥα, καὶ ἔλλιπε θῶκον: ἐφωμάρτησε δ' Ἀθήνη:
112 ἐκ δ' ἴσαν ἄμφω ταίγε παλίσσυτοι. ἡ δὲ καὶ αὐτὴ
113 βῆ ῥ' ἴμεν Οὐλύμποιο κατὰ πτύχας, εἴ μιν ἐφεύροι.

[…]

317 Τοῖά μιν ἐξερέοντα κασιγνήτων προπάροιθεν
318 Ἄργος ὑποδδείσας ἀμφὶ στόλῳ Αἰσονίδαο
319 μειλιχίως προσέειπεν, ἐπεὶ προγενέστερος ἦεν:

'[…]
340 νῆα δ' Ἀθηναίη Παλλὰς κάμεν, οὐ μάλα τοίην,
341 οἷαί περ Κόλχοισι μετ' ἀνδράσι νῆες ἔασιν,
342 τάων αἰνοτάτης ἐπεκύρσαμεν. ἤλιθα γάρ μιν
343 λάβρον ὕδωρ πνοιή τε διέτμαγεν: ἡ δ' ἐνὶ γόμφοις
344 ἴσχεται, ἢν καὶ πᾶσαι ἐπιβρίσωσιν ἄελλαι.
[…]'

1183 τοὺς δὲ θεὰ Τριτωνὶς ὑπὲκ γενύων ἐλάσασα
1184 Αἰήτῃ πόρε δῶρον ὁμῶς αὐτῷ τε φονῆι.

4.
578 μηδομένη δ' ἄνυσιν τοῖο πλόου, ὦρσεν ἀέλλας
579 ἀντικρύ, ταῖς αὖτις ἀναρπάγδην φορέοντο
580 νήσου ἔπι κραναῆς Ἠλεκτρίδος. αὐτίκα δ' ἄφνω
581 ἴαχεν ἀνδρομέῃ ἐνοπῇ μεσσηγὺ θεόντων
582 αὐδῆεν γλαφυρῆς νηὸς δόρυ, τό ῥ' ἀνὰ μέσσην
583 στεῖραν Ἀθηναίη Δωδωνίδος ἥρμοσε φηγοῦ.
584 τοὺς δ' ὀλοὸν μεσσηγὺ δέος λάβεν εἰσαΐοντας
585 φθογγήν τε Ζηνός τε βαρὺν χόλον. οὐ γὰρ ἀλύξειν

586 ἔννεπεν οὔτε πόρους δολιχῆς ἁλός, οὔτε θυέλλας
587 ἀργαλέας, ὅτε μὴ Κίρκη φόνον Ἀψύρτοιο
588 νηλέα νίψειεν: Πολυδεύκεα δ' εὐχετάασθαι
589 Κάστορά τ' ἀθανάτοισι θεοῖς ἤνωγε κελεύθους
590 Αὐσονίης ἔμπροσθε πορεῖν ἁλός, ᾗ ἔνι Κίρκην
591 δήουσιν, Πέρσης τε καὶ Ἠελίοιο θύγατρα.

[…]

933 ὡς δ' ὁπόταν δελφῖνες ὑπὲξ ἁλὸς εὐδιόωντες
934 σπερχομένην ἀγεληδὸν ἑλίσσωνται περὶ νῆα,
935 ἄλλοτε μὲν προπάροιθεν ὁρώμενοι, ἄλλοτ' ὄπισθεν,
936 ἄλλοτε παρβολάδην, ναύτῃσι δὲ χάρμα τέτυκται:
937 ὣς αἱ ὑπεκπροθέουσαι ἐπήτριμοι εἱλίσσοντο
938 Ἀργῴῃ περὶ νηί, Θέτις δ' ἴθυνε κέλευθον.
939 καί ῥ' ὅτε δὴ Πλαγκτῇσιν ἐνιχρίμψεσθαι ἔμελλον,
940 αὐτίκ' ἀνασχόμεναι λευκοῖς ἐπὶ γούνασι πέζας,
941 ὑψοῦ ἐπ' αὐτάων σπιλάδων καὶ κύματος ἀγῆς
942 ῥώοντ' ἔνθα καὶ ἔνθα διασταδὸν ἀλλήλῃσιν.
943 τὴν δὲ παρηορίην κόπτεν ῥόος: ἀμφὶ δὲ κῦμα
944 λάβρον ἀειρόμενον πέτραις ἐπικαχλάζεσκεν,
945 αἵ θ' ὁτὲ μὲν κρημνοῖς ἐναλίγκιαι ἠέρι κῦρον,
946 ἄλλοτε δὲ βρύχιαι νεάτῳ ὑπὸ πυθμένι πόντου
947 ἠρήρειν, τὸ δὲ πολλὸν ὑπείρεχεν ἄγριον οἶδμα.
948 αἱ δ', ὥστ' ἠμαθόεντος ἐπισχεδὸν αἰγιαλοῖο
949 παρθενικαί, δίχα κόλπον ἐπ' ἰξύας εἱλίξασαι
950 σφαίρῃ ἀθύρουσιν περιηγέι: αἱ μὲν ἔπειτα
951 ἄλλη ὑπ' ἐξ ἄλλης δέχεται καὶ ἐς ἠέρα πέμπει
952 ὕψι μεταχρονίην: ἡ δ' οὔποτε πίλναται οὔδει:
953 ὣς αἱ νῆα θέουσαν ἀμοιβαδὶς ἄλλοθεν ἄλλη
954 πέμπε διηερίην ἐπὶ κύμασιν, αἰὲν ἄπωθεν
955 πετράων: περὶ δέ σφιν ἐρευγόμενον ζέεν ὕδωρ.
956 τὰς δὲ καὶ αὐτὸς ἄναξ κορυφῆς ἔπι λισσάδος ἄκρης
957 ὀρθὸς ἐπὶ στελεῇ τυπίδος βαρὺν ὦμον ἐρείσας
958 Ἥφαιστος θηεῖτο, καὶ αἰγλήεντος ὕπερθεν
959 οὐρανοῦ ἑστηυῖα Διὸς δάμαρ: ἀμφὶ δ' Ἀθήνῃ
960 βάλλε χέρας, τοῖόν μιν ἔχεν δέος εἰσορόωσαν.
961 ὅσση δ' εἰαρινοῦ μηκύνεται ἤματος αἶσα,
962 τοσσάτιον μογέεσκον ἐπὶ χρόνον, ὀχλίζουσαι
963 νῆα διὲκ πέτρας πολυηχέας: οἱ δ' ἀνέμοιο
964 αὖτις ἐπαυρόμενοι προτέρω θέον: ὦκα δ' ἄμειβον
965 Θρινακίης λειμῶνα, βοῶν τροφὸν Ἠελίοιο.
966 ἔνθ' αἱ μὲν κατὰ βένθος ἁλίγκιαι αἰθυίῃσιν
967 δῦνον, ἐπεί ῥ' ἀλόχοιο Διὸς πόρσυνον ἐφετμάς.

[…]

1305 καί νύ κεν αὐτοῦ πάντες ἀπὸ ζωῆς ἐλίασθεν
1306 νώνυμνοι καὶ ἄφαντοι ἐπιχθονίοισι δαῆναι
1307 ἡρώων οἱ ἄριστοι ἀνηνύστῳ ἐπ' ἀέθλῳ:
1308 ἀλλά σφεας ἐλέηραν ἀμηχανίῃ μινύθοντας
1309 ἡρῷσσαι, Λιβύης τιμήοροι, αἵ ποτ' Ἀθήνην,
1310 ἦμος ὅτ' ἐκ πατρὸς κεφαλῆς θόρε παμφαίνουσα,
1311 ἀντόμεναι Τρίτωνος ἐφ' ὕδασι χυτλώσαντο.

[…]

1689 κεῖνο μὲν οὖν Κρήτῃ ἐνὶ δὴ κνέφας ηὐλίζοντο
1690 ἥρωες: μετὰ δ' οἵγε νέον φαέθουσαν ἐς ἠῶ
1691 ἱρὸν Ἀθηναίης Μινωίδος ἱδρύσαντο,
1692 ὕδωρ τ' εἰσαφύσαντο καὶ εἰσέβαν, ὥς κεν ἐρετμοῖς
1693 παμπρώτιστα βάλοιεν ὑπὲρ Σαλμωνίδος ἄκρης.

[…]

## **ΚΥΠΡΙΑ** (αποσπάσματα)

(1) [...] Παραγενομένε δὲ Ἔρις εὐ ωχουμ έ νων τω̂ν θεω̂ν ἐν τοι̂ς Πηλ έ ως γ ά μοις νει̂κος περὶ κα̉λλους ἐν ί στησιν Ἀθηνα̂ι, Ἥραι καὶ Ἀφροδ ί τηι· αἳ πρὸς Αλέξανδρον ἐν Ἴδηι κατὰ Διὸς προσταγὴν υ̒φ̓ Ἑρμου̂ πρὸς τὴν κρίσιν ἀ̈γονται. <αἳ δὲ ἐπαγγέλλονται δω̂ρα δώσειν Ἀλεξ ά νδροι εν· Ἥρα μὲ ω οὐ̂ν ἔφη προκριθει̂δα δώσειν βασιλείαν πάντων, Ἀθηνα̂ δὲ πολέμον νίκην, Ἀφροδίτη δὲ γάμον Ἑλένης.> καὶ προκρίνει τὴν Ἀφροδίτην ἐπαρθεὶς τοι̂ς Ἑλένης γάμοις Ἀλέξανδρος.
[...]

Scholiast on the Iliad
4 Schol. (D) *Il.* 16.140

Κατὰ γα̉ρ τὸν Πηλέως καὶ Θέτιδος γάμον οἱ θεοὶ συναχθέντες εἲς τὸ Πήλιον ἐπ̓ εύωχίαι ἐκόμιζον Πηλει̂ δω̂ρα, Χείρον δε μελίαν εὐθαλη̂ τεμὼν εἲς δόρυ παρέσχεν φασὶ δὲ Ἀθηνα̂ν μὲν ξέσαι αὐτό, Ἥφαστον δε κατασκευάσαι.

## **Ἰλιάς** (αποσπάσματα)
Ὅμηρος

1. […]
τοὺς μὲν ἀναστήσειεν, ὃ δ' Ἀτρεΐδην ἐναρίζοι, 191
ἦε χόλον παύσειεν ἐρητύσειέ τε θυμόν.
ἧος ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,

ἕλκετο δ' ἐκ κολεοῖο μέγα ξίφος, ἦλθε δ' Ἀθήνη
οὐρανόθεν: πρὸ γὰρ ἧκε θεὰ λευκώλενος Ἥρη
ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε:
στῆ δ' ὄπιθεν, ξανθῆς δὲ κόμης ἕλε Πηλεΐωνα
οἴῳ φαινομένη: τῶν δ' ἄλλων οὔ τις ὁρᾶτο:
θάμβησεν δ' Ἀχιλεύς, μετὰ δ' ἐτράπετ', αὐτίκα δ' ἔγνω
Παλλάδ' Ἀθηναίην: δεινὼ δέ οἱ ὄσσε φάανθεν:
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα:
τίπτ' αὖτ' αἰγιόχοιο Διὸς τέκος εἰλήλουθας;
ἦ ἵνα ὕβριν ἴδῃ Ἀγαμέμνονος Ἀτρεΐδαο;
ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τελέεσθαι ὀΐω:
ᾗς ὑπεροπλίῃσι τάχ' ἄν ποτε θυμὸν ὀλέσσῃ.
τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη:
ἦλθον ἐγὼ παύσουσα τὸ σὸν μένος, αἴ κε πίθηαι,
οὐρανόθεν: πρὸ δέ μ' ἧκε θεὰ λευκώλενος Ἥρη
ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε:
ἀλλ' ἄγε λῆγ' ἔριδος, μηδὲ ξίφος ἕλκεο χειρί:
ἀλλ' ἤτοι ἔπεσιν μὲν ὀνείδισον ὡς ἔσεταί περ:
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται:
καί ποτέ τοι τρὶς τόσσα παρέσσεται ἀγλαὰ δῶρα
ὕβριος εἵνεκα τῆσδε: σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν.

τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς:
χρὴ μὲν σφωΐτερόν γε θεὰ ἔπος εἰρύσσασθαι
καὶ μάλα περ θυμῷ κεχολωμένον: ὧς γὰρ ἄμεινον:
ὅς κε θεοῖς ἐπιπείθηται μάλα τ' ἔκλυον αὐτοῦ.

ἦ καὶ ἐπ' ἀργυρέῃ κώπῃ σχέθε χεῖρα βαρεῖαν,
ἂψ δ' ἐς κουλεὸν ὦσε μέγα ξίφος, οὐδ' ἀπίθησε
μύθῳ Ἀθηναίης: ἣ δ' Οὔλυμπον δὲ βεβήκει
δώματ' ἐς αἰγιόχοιο Διὸς μετὰ δαίμονας ἄλλους.
[…]
πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα
εὐχομένης ὅτ' ἔφησθα κελαινεφέϊ Κρονίωνι
οἴη ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,
ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη:
[…]

2. […]
εἰ μὴ Ἀθηναίην Ἥρη πρὸς μῦθον ἔειπεν:
ὢ πόποι αἰγιόχοιο Διὸς τέκος Ἀτρυτώνη,
οὕτω δὴ οἶκον δὲ φίλην ἐς πατρίδα γαῖαν
Ἀργεῖοι φεύξονται ἐπ' εὐρέα νῶτα θαλάσσης,

κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωσὶ λίποιεν
Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλοὶ Ἀχαιῶν
ἐν Τροίῃ ἀπόλοντο φίλης ἀπὸ πατρίδος αἴης:
ἀλλ' ἴθι νῦν κατὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων:
σοῖς ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον,
μηδὲ ἔα νῆας ἅλα δ' ἑλκέμεν ἀμφιελίσσας.

ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη,
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα:
καρπαλίμως δ' ἵκανε θοὰς ἐπὶ νῆας Ἀχαιῶν.
εὗρεν ἔπειτ' Ὀδυσῆα Διὶ μῆτιν ἀτάλαντον
ἑσταότ': οὐδ' ὅ γε νηὸς ἐϋσσέλμοιο μελαίνης
ἅπτετ', ἐπεί μιν ἄχος κραδίην καὶ θυμὸν ἵκανεν:
ἀγχοῦ δ' ἱσταμένη προσέφη γλαυκῶπις Ἀθήνη:
διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ,
οὕτω δὴ οἶκον δὲ φίλην ἐς πατρίδα γαῖαν
φεύξεσθ' ἐν νήεσσι πολυκλήϊσι πεσόντες,
κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωσὶ λίποιτε
Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλοὶ Ἀχαιῶν
ἐν Τροίῃ ἀπόλοντο φίλης ἀπὸ πατρίδος αἴης;
ἀλλ' ἴθι νῦν κατὰ λαὸν Ἀχαιῶν, μηδ' ἔτ' ἐρώει,
σοῖς δ' ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον,
μηδὲ ἔα νῆας ἅλα δ' ἑλκέμεν ἀμφιελίσσας.

ὣς φάθ', ὃ δὲ ξυνέηκε θεᾶς ὄπα φωνησάσης,
βῆ δὲ θέειν, ἀπὸ δὲ χλαῖναν βάλε:
[…]
οὔ θήν μιν πάλιν αὖτις ἀνήσει θυμὸς ἀγήνωρ 276
νεικείειν βασιλῆας ὀνειδείοις ἐπέεσσιν.

ὣς φάσαν ἣ πληθύς: ἀνὰ δ' ὃ πτολίπορθος Ὀδυσσεὺς
ἔστη σκῆπτρον ἔχων: παρὰ δὲ γλαυκῶπις Ἀθήνη
εἰδομένη κήρυκι σιωπᾶν λαὸν ἀνώγει,
ὡς ἅμα θ' οἳ πρῶτοί τε καὶ ὕστατοι υἷες Ἀχαιῶν
μῦθον ἀκούσειαν καὶ ἐπιφρασσαίατο βουλήν:
[…]
ἦ μὰν αὖτ' ἀγορῇ νικᾷς γέρον υἷας Ἀχαιῶν. 370
αἲ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον
τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν:
τώ κε τάχ' ἠμύσειε πόλις Πριάμοιο ἄνακτος
χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε.
[…]
θῦνον κρίνοντες, μετὰ δὲ γλαυκῶπις Ἀθήνη 446
αἰγίδ' ἔχουσ' ἐρίτιμον ἀγήρων ἀθανάτην τε,
τῆς ἑκατὸν θύσανοι παγχρύσεοι ἠερέθονται,

πάντες ἐϋπλεκέες, ἑκατόμβοιος δὲ ἕκαστος:
σὺν τῇ παιφάσσουσα διέσσυτο λαὸν Ἀχαιῶν
ὀτρύνουσ' ἰέναι: ἐν δὲ σθένος ὦρσεν ἑκάστῳ
καρδίῃ ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων γένετ' ἠὲ νέεσθαι
ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν.
[…]
οἳ δ' ἄρ' Ἀθήνας εἶχον ἐϋκτίμενον πτολίεθρον 546
δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' Ἀθήνη
θρέψε Διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος ἄρουρα,
κὰδ δ' ἐν Ἀθήνῃς εἷσεν ἑῷ ἐν πίονι νηῷ:
ἔνθα δέ μιν ταύροισι καὶ ἀρνειοῖς ἱλάονται
κοῦροι Ἀθηναίων περιτελλομένων ἐνιαυτῶν:
τῶν αὖθ' ἡγεμόνευ' υἱὸς Πετεῶο Μενεσθεύς.
τῷ δ' οὔ πώ τις ὁμοῖος ἐπιχθόνιος γένετ' ἀνὴρ
κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας:
Νέστωρ οἶος ἔριζεν: ὃ γὰρ προγενέστερος ἦεν:
τῷ δ' ἅμα πεντήκοντα μέλαιναι νῆες ἕποντο.
[…]

3. […]
437
τὴν δὲ Πάρις μύθοισιν ἀμειβόμενος προσέειπε:
μή με γύναι χαλεποῖσιν ὀνείδεσι θυμὸν ἔνιπτε:
νῦν μὲν γὰρ Μενέλαος ἐνίκησεν σὺν Ἀθήνῃ,
κεῖνον δ' αὖτις ἐγώ:

4. […]
Τρώων πόλιν εἰσορόωντες:
αὐτίκ' ἐπειρᾶτο Κρονίδης ἐρεθιζέμεν Ἥρην
κερτομίοις ἐπέεσσι παραβλήδην ἀγορεύων:
δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάων
Ἥρη τ' Ἀργείη καὶ Ἀλαλκομενηῒς Ἀθήνη.
ἀλλ' ἤτοι ταὶ νόσφι καθήμεναι εἰσορόωσαι
τέρπεσθον: τῷ δ' αὖτε φιλομειδὴς Ἀφροδίτη
αἰεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆρας ἀμύνει:
καὶ νῦν ἐξεσάωσεν ὀϊόμενον θανέεσθαι.
ἀλλ' ἤτοι νίκη μὲν ἀρηϊφίλου Μενελάου:
ἡμεῖς δὲ φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα,
ἤ ῥ' αὖτις πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν
ὄρσομεν, ἦ φιλότητα μετ' ἀμφοτέροισι βάλωμεν.
εἰ δ' αὖ πως τόδε πᾶσι φίλον καὶ ἡδὺ γένοιτο,
ἤτοι μὲν οἰκέοιτο πόλις Πριάμοιο ἄνακτος,
αὖτις δ' Ἀργείην Ἑλένην Μενέλαος ἄγοιτο.
ὣς ἔφαθ', αἳ δ' ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη:

πλησίαι αἵ γ' ἥσθην, κακὰ δὲ Τρώεσσι μεδέσθην.
ἤτοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι εἶπε
σκυζομένη Διὶ πατρί, χόλος δέ μιν ἄγριος ᾕρει:
Ἥρῃ δ' οὐκ ἔχαδε στῆθος χόλον, ἀλλὰ προσηύδα:
αἰνότατε Κρονίδη ποῖον τὸν μῦθον ἔειπες:
πῶς ἐθέλεις ἅλιον θεῖναι πόνον ἠδ' ἀτέλεστον,
ἱδρῶ θ' ὃν ἵδρωσα μόγῳ, καμέτην δέ μοι ἵπποι
λαὸν ἀγειρούσῃ, Πριάμῳ κακὰ τοῖό τε παισίν.
ἔρδ': ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
τὴν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς:
[…]
Ἥρη:
ἤτοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες
Ἄργός τε Σπάρτη τε καὶ εὐρυάγυια Μυκήνη:
τὰς διαπέρσαι ὅτ' ἄν τοι ἀπέχθωνται περὶ κῆρι:
